[2]Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ 2
τῆς γῆς τοῦ ὑψῶσαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ισραηλ, [3]καὶ 3
ἔσται τὸ ὑπολειφθὲν ἐν Σιων καὶ τὸ καταλειφθὲν ἐν Ιερουσαλημ
ἅγιοι κληθήσονται, πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ιερουσαλημ·
[4]ὅτι ἐκπλυνεῖ κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων 4
Σιων καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν ἐν πνεύματι κρίσεως
καὶ πνεύματι καύσεως. [5]καὶ ἥξει, καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους 5
Σιων καὶ πάντα τὰ περικύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας καὶ
ὡς καπνοῦ καὶ ὡς φωτὸς πυρὸς καιομένου νυκτός· πάσῃ τῇ δόξῃ
σκεπασθήσεται· [6]καὶ ἔσται εἰς σκιὰν ἀπὸ καύματος καὶ ἐν σκέπῃ 6
καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ.

[1]Ἆισω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ τῷ ἀμπελῶνί μου. 5
ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι ἐν τόπῳ πίονι. [2]καὶ 2
φραγμὸν περιέθηκα καὶ ἐχαράκωσα καὶ ἐφύτευσα ἄμπελον σωρηχ
καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ καὶ προλήνιον ὤρυξα ἐν
αὐτῷ· καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησεν δὲ ἀκάνθας. [3]καὶ 3
νῦν, ἄνθρωπος τοῦ Ιουδα καὶ οἱ ἐνοικοῦντες ἐν Ιερουσαλημ, κρίνατε
ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου. [4]τί ποιήσω ἔτι τῷ 4
ἀμπελῶνί μου καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα τοῦ ποιῆσαι
σταφυλήν, ἐποίησεν δὲ ἀκάνθας. [5]νῦν δὲ ἀναγγελῶ ὑμῖν τί ποιήσω 5
τῷ ἀμπελῶνί μου· ἀφελῶ τὸν φραγμὸν αὐτοῦ καὶ ἔσται εἰς διαρ-
παγήν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ καὶ ἔσται εἰς καταπάτημα,
[6]καὶ ἀνήσω τὸν ἀμπελῶνά μου καὶ οὐ μὴ τμηθῇ οὐδὲ μὴ σκαφῇ, 6
καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα· καὶ ταῖς νεφέ-
λαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. [7]ὁ γὰρ ἀμπελὼν
κυρίου σαβαωθ οἶκος τοῦ Ισραηλ ἐστίν καὶ ἄνθρωπος τοῦ Ιουδα
νεόφυτον ἠγαπημένον· ἔμεινα τοῦ ποιῆσαι κρίσιν, ἐποίησεν δὲ
ἀνομίαν καὶ οὐ δικαιοσύνην ἀλλὰ κραυγήν.

[8]Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν καὶ ἀγρὸν πρὸς ἀγρὸν 8
ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι· μὴ οἰκήσετε μόνοι ἐπὶ
τῆς γῆς; [9]ἠκούσθη γὰρ εἰς τὰ ὦτα κυρίου σαβαωθ ταῦτα· ἐὰν 9
γὰρ γένωνται οἰκίαι πολλαί, εἰς ἔρημον ἔσονται μεγάλαι καὶ καλαί,

2 επιλαμψει] επι > A† || 4 αιμα] + ιερουσαλημ S*LC (in O sub ※) | -σεως $1^0 \frown 2^0$ A | πνευματι ult.] pr. εν S || 5 ως $2^0$] > BC, in O sub ※ pro ÷ πασῃ] pr. και B† | τη δοξη σκεπασθ.] τη δ. κυριου πασθησεται A† || 6 απο ult. > A†

5 1] pr. ωδη S$^{s}$†: cf. Od. 10 et Is. 25 1 | αγαπητου] + μου BLC || 2 σωρηκ BQ | εποι. δε] και εποι. BLC || 3 ανθρ. του ιουδα et οι ενοικ. εν ιερουσ.] tr. BC (C nec non L om. εν) | κρινατε] + δη C (in O sub ※): cf. 5 || 4 ετι / τω αμπ. μου] tr. S | του ποιησαι] ινα ποιηση LC: item ambo in 7 || 5 αναγγελω] + δη LC (in O sub ※) | ποιησω] pr. εγω LC (in O sub ※) | καταπατ.] διαρπαγην A† || 6 ουδε] ουδ ου S | σκαφη] + ετ(ε)ι S*† | αναβησονται BS$^{c}$† | ακανθα] -θαι BS*† || 7 εστιν] > B, in O sub ÷ || 8 οικησητε(uel -ται) SL